## *Περὶ συνοδικῶν ἀστέρων*

«Συνοδικοὶ δὲ γίνονται, ὅταν κατὰ τὸ αὐτὸ ζῴδιον ἰσόμοιροι τῷ Ἡλίῳ τυγχάνωσι·»

*Τί φησίν; ὅτι ἐὰν ἐν τῷ αὐτῷ ζῳδίῳ εἴησαν οἱ ἀστέρες, ἐν ᾧ ἐστι ὁ Ἥλιος, τηνικαῦτα συνοδικοὶ λέγονται καὶ μάλιστα, ἐὰν ἐν τῇ αὐτῇ μοίρᾳ ὦσιν, ἐν ᾗ ἐστι ὁ Ἥλιος, περὶ τὴν αὐτὴν μέχρι λεπτῶν νθ´ μοίρας μιᾶς.*

«Πλέον δὲ ἀδρανεῖς καὶ ἄπρακτοι πρὸς τὰ ἴδια ἀποτελέσματα»

*Ἐνταῦθα ἐκεῖνο λέγει, ὅπερ εἴρηκεν ἐν τῇ θεωρίᾳ, ὅτι μᾶλλον ἄπρακτοι καὶ φαῦλοι γίνονται οἱ ἀστέρες ὕπαυγοι ὄντες, ὅταν πλησιώτεροι ὄντες τοῦ Ἡλίου οἷον περὶ ϛ´ ἢ περὶ ε´ μοίρας.*

«Οἱ δὲ πρὸς τὴν Σελήνην ἐν ταῖς ἑπομέναις αὐτῇ μοίραις»

*Τί φησί; ὅτι ὥσπερ ἐπὶ τῶν πρὸς Ἥλιον φάσεων τῶν ἀστέρων ἐλέγομεν, μέχρι τότε εἶναι αὐτοὺς ἑῴους ἀνατολικούς, μέχρι τριγωνικὸν σχῆμα αὐτοῦ ποιήσουσιν, οὕτως καὶ ἐπὶ τῆς Σελήνης λέγομεν· μέχρι τότε αὐτῆς εἶναι ἑῷον ἀνατολικὸν τὸν ἀστέρα ἢ ἑσπέριον, μέχρις ἐξέλθῃ τὸ ζῴδιον ἡ Σελήνη, ἐν ᾧ πεποίηνται πρὸς αὐτὴν τὰς φάσεις οἱ ἀστέρες.*

Μόνον «ἐν τοῖς ἐπικαίροις τόποις τῆς γενέσεως»

*τουτέστιν ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τῷ μεσουρανήματι. Τί φησί; ὅτι τότε μᾶλλόν εἰσι δραστικοὶ οἱ ἀστέρες δορυφοροῦντες τὸν Ἥλιον, τουτέστιν ἑῷοι ἀνατολικοὶ ἢ ἑσπέριοι ὄντες, ὅταν καὶ ἐν τῷ αὐτῷ ζῳδίῳ ὦσιν, ἐν ᾧ ὁ Ἥλιος, καὶ ἐν ἰδίοις οἴκοις ὑπεδέξαντο τὸν Ἥλιον, καὶ εἰ οὕτως ἔχοντες εὑρεθῶσιν ἐν*

© www.astrothesaurus.gr

*τοῖς καιρίοις τόποις τῆς γενέσεως, τουτέστι ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τῷ μεσουρανήματι.*